Ακαδημία Αθηνών / Academy of Athens

**νόσος.** Νόσος/ἀρρώστεια, disease/sickness, Ἡράκλειτος 111 *ν ο ῦ σ ο ς ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν* Ἐμπεδοκλῆς 112.10 *οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ ν ο ύ σ ω ν παντοίων ἐπύθοντο κλυεῖν εὐηκέα βάξιν* Δημόκριτος 31 *ἰατρικὴ μὲν ... σώματος ν ό σ ο υ ς ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν ἀφαιρεῖται* 288 *ν ό σ ο ς οἴκου καὶ βίου γίνεται ὅκωσπερ καὶ σκήνεος.* || **Νόσος.** Ἡ Ἀρρώστεια (προσωποπ.), Disease (personif.), Ἐμπεδοκλῆς 121.3 *ἀτερπέα χῶρον, ἔνθα ... αὐχμηραί τε Ν ό σ ο ι καὶ Σήψιες ἔργα τε ῥευστὰ Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν.* Πρβλ. *νόσημα, ὑγίεια.*

**νοτίζεσθαι** (ἀντίθ. *αὐαίνεσθαι*). Ὑγραίνομαι, be moistened, Ἡράκλειτος 126 *τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑγρὸν αὐαίνεται, καρφαλέον ν ο τ ί ζ ε τ α ι.* Πρβλ. *νότος, αὖος.*

**νότος.** Νότιος ἄνεμος, south wind, Δημόκριτος 14 (DK II 143,14) *ν ό τ ο ς πνεῖ* 14 (DK II 144,22) *ν ό τ ο ς ὡς τὰ πολλά.*

**νουθετεῖν.** Νουθετῶ/συμβουλεύω, admonish/advise, Δημόκριτος 52 *τὸν οἰόμενον νοῦν ἔχειν ὁ ν ο υ θ ε τ έ ω ν ματαιοπονεῖ.*

**νοῦς** (τύπ. *νόος*) **1.** Νοῦς/πνεῦμα, mind/spirit, Ξενοφάνης 25 *ἀλλ' ἀπάνευθε πόνοιο ν ό ο υ φρενὶ πάντα κραδαίνει* **2.** Νοῦς/διάνοια, mind/intellect, Παρμενίδης 4.1 *λεῦσσε δ' ὅμως ἀπεόντα ν ό ῳ παρεόντα βεβαίως* 6.6 *ἀμηχανίη γὰρ ἐν αὐτῶν στήθεσιν ἰθύνει πλακτὸν ν ό ο ν* 16.2 *ὡς γὰρ ἑκάστοτ' ἔχει κρᾶσις μελέων πολυπλάγκτων, τὼς ν ό ο ς ἀνθρώποισι παρίσταται* Ἐμπεδοκλῆς 2.8 *οὕτως οὔτ' ἐπιδερκτὰ τάδ' ἀνδράσιν οὔτ' ἐπακουστὰ οὔτε ν ό ῳ περιληπτά* 17.21 *καὶ Φιλότης ἐν τοῖσιν, ἴση μῆκός τε πλάτος τε· τὴν σὺ ν ό ῳ δέρκευ, μηδ' ὄμμασιν ἧσο τεθηπώς* 136.2 *οὐκ ἐσορᾶτε ἀλλήλους δάπτοντες ἀκηδείῃσι ν ό ο ι ο;* Φιλόλαος 13.1 *κεφαλὰ μὲν ν ό ο υ, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος* Λεύκιππος 2 (τίτλ.) *ἐν τῷ Περὶ ν ο ῦ* Δημόκριτος 5e (τίτλ.) *Περὶ ν ο ῦ* 112 *θείου νοῦ τὸ ἀεί τι διαλογίζεσθαι καλόν* 175 *ὁκόσα κακὰ καὶ βλαβερὰ καὶ ἀνωφελέα, τάδε δ' οὔ⟨τε⟩ πάλαι οὔτε νῦν θεοὶ ἀνθρώποισι δωροῦνται, ἀλλ' αὐτοὶ τοῖσδεσιν ἐμπελάζουσι διὰ ν ο ῦ τυφλότητα καὶ ἀγνωμοσύνην.* Πρβλ. *φρήν, νόημα, νόησις* **3.** Νοῦς/νοημοσύνη,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ